# Πρὸς Τιμόθεον Α

Παῦλος ἀπόστολος Ἰησοῦ χριστοῦ κατ᾽ ἐπιταγὴν[1] θεοῦ σωτῆρος[2] ἡμῶν, 1
καὶ κυρίου Ἰησοῦ χριστοῦ τῆς ἐλπίδος ἡμῶν, Τιμοθέῳ[3] γνησίῳ[4] 2
τέκνῳ ἐν πίστει: χάρις, ἔλεος,[5] εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ
χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν.

Καθὼς παρεκάλεσά σε προσμεῖναι[6] ἐν Ἐφέσῳ,[7] πορευόμενος εἰς 3
Μακεδονίαν,[8] ἵνα παραγγείλῃς τισὶν μὴ ἑτεροδιδασκαλεῖν,[9] μηδὲ 4
προσέχειν[10] μύθοις[11] καὶ γενεαλογίαις[12] ἀπεράντοις,[13] αἵτινες ζητήσεις
παρέχουσιν[15] μᾶλλον ἢ οἰκονομίαν[16] θεοῦ τὴν ἐν πίστει. Τὸ δὲ τέλος 5
τῆς παραγγελίας[17] ἐστὶν ἀγάπη ἐκ καθαρᾶς[18] καρδίας καὶ
συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου:[19] ὧν τινὲς 6
ἀστοχήσαντες[20] ἐξετράπησαν[21] εἰς ματαιολογίαν,[22] θέλοντες εἶναι 7
νομοδιδάσκαλοι,[23] μὴ νοοῦντες[24] μήτε ἃ λέγουσιν, μήτε περὶ τίνων
διαβεβαιοῦνται.[25] Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ 8
νομίμως[26] χρῆται,[27] εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται,[28] ἀνόμοις 9
δὲ καὶ ἀνυποτάκτοις,[30] ἀσεβέσιν[31] καὶ ἁμαρτωλοῖς, ἀνοσίοις[32] καὶ
βεβήλοις,[33] πατρολῴαις[34] καὶ μητρολῴαις,[35] ἀνδροφόνοις,[36] πόρνοις,[37] 10

[1] ἐπιταγή, ῆς, ἡ, command, commandment. [2] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [3] Τιμόθεος, ου, ὁ, Timothy. [4] γνήσιος, genuine, true. [5] ἔλεος, ους, ὁ, pity, mercy. [6] προσμένω, wait longer, remain. [7] Ἔφεσος, ου, ἡ, Ephesus. [8] Μακεδονία, ας, ἡ, Macedonia. [9] ἑτεροδιδασκαλέω, teach a different or divisive doctrine. [10] προσέχω, take head of, attend to. [11] μῦθος, ου, ὁ, fable, myth. [12] γενεαλογία, ας, ἡ, genealogy. [13] ἀπέραντος, endless, limitless. [14] ζήτησις, εως, ἡ, debate, controversy. [15] παρέχω, offer, afford. [16] οἰκονομία, ας, ἡ, stewardship, administration. [17] παραγγελία, ας, ἡ, instruction, command. [18] καθαρός, clean, pure. [19] ἀνυπόκριτος, sincere, without hypocrisy. [20] ἀστοχέω, miss the mark, go astray. [21] ἐκτρέπω, turn aside, wander. [22] ματαιολογία, ας, ἡ, empty, idle. [23] νομοδιδάσκαλος, ου, ὁ, teacher of the law. [24] νοέω, understand, consider. [25] διαβεβαιόομαι, speak confidently, insist. [26] νομίμως, rightly, lawfully. [27] χράομαι, use, make use of. [28] κεῖμαι, lie, be laid. [29] ἄνομος, lawless, without law. [30] ἀνυπότακτος, not subject to rule, rebellious. [31] ἀσεβής, ungodly, impious. [32] ἀνόσιος, unholy, regarding nothing as holy. [33] βέβηλος, worldly, profane. [34] πατρολῴας, ου, ὁ, one who kills his father, patricide. [35] μητραλῴας, ου, ὁ, matricide. [36] ἀνδροφόνος, ου, ὁ, murderer. [37] πόρνος, ου, ὁ, fornicator, immoral person.

ἀρσενοκοίταις,[1] ἀνδραποδισταῖς,[2] ψεύσταις,[3] ἐπιόρκοις,[4] καὶ εἴ τι
ἕτερον τῇ ὑγιαινούσῃ[5] διδασκαλίᾳ[6] ἀντίκειται,[7] κατὰ τὸ εὐαγγέλιον 11
τῆς δόξης τοῦ μακαρίου θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.

Καὶ χάριν ἔχω τῷ ἐνδυναμώσαντί[8] με χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, 12
ὅτι πιστόν με ἡγήσατο,[9] θέμενος εἰς διακονίαν, τὸν πρότερον[10] ὄντα 13
βλάσφημον[11] καὶ διώκτην[12] καὶ ὑβριστήν:[13] ἀλλὰ ἠλεήθην,[14] ὅτι
ἀγνοῶν[15] ἐποίησα ἐν ἀπιστίᾳ:[16] ὑπερεπλεόνασεν[17] δὲ ἡ χάρις τοῦ 14
κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν χριστῷ Ἰησοῦ. Πιστὸς 15
ὁ λόγος καὶ πάσης ἀποδοχῆς[18] ἄξιος, ὅτι χριστὸς Ἰησοῦς ἦλθεν εἰς
τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ: ἀλλὰ διὰ τοῦτο 16
ἠλεήθην,[14] ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται[19] Ἰησοῦς χριστὸς τὴν πᾶσαν
μακροθυμίαν,[20] πρὸς ὑποτύπωσιν[21] τῶν μελλόντων πιστεύειν ἐπ'
αὐτῷ εἰς ζωὴν αἰώνιον. Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ,[22] 17
ἀοράτῳ,[23] μόνῳ σοφῷ[24] θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. Ἀμήν.

Ταύτην τὴν παραγγελίαν[25] παρατίθεμαί[26] σοι, τέκνον Τιμόθεε,[27] κατὰ 18
τὰς προαγούσας[28] ἐπὶ σὲ προφητείας,[29] ἵνα στρατεύῃ[30] ἐν αὐταῖς τὴν
καλὴν στρατείαν,[31] ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες 19

[1] ἀρσενοκοίτης, ου, ὁ, male engaging in same-sex sexual activity. [2] ἀνδραποδιστής, οῦ, ὁ, slave dealer, kidnapper. [3] ψεύστης, ου, ὁ, liar, deceiver. [4] ἐπίορκος, ου, ὁ, perjurer, perjured. [5] ὑγιαίνω, be in good health, am well. [6] διδασκαλία, ας, ἡ, teaching, doctrine. [7] ἀντίκειμαι, lie opposite, i.e. oppose. [8] ἐνδυναμόω, strengthen, empower. [9] ἡγέομαι, lead, be chief. [10] πρότερον, formerly, before. [11] βλάσφημος, blasphemous, slanderous. [12] διώκτης, ου, ὁ, persecutor. [13] ὑβριστής, οῦ, ὁ, violent, insolent. [14] ἐλεέω, have mercy, pity. [15] ἀγνοέω, not know, be unaware. [16] ἀπιστία, ας, ἡ, unbelief, unfaithfulness. [17] ὑπερπλεονάζω, abound exceedingly, overflow. [18] ἀποδοχή, ῆς, ἡ, acceptance, approval. [19] ἐνδείκνυμι, show forth, show. [20] μακροθυμία, ας, ἡ, long-suffering, patience. [21] ὑποτύπωσις, εως, ἡ, prototype, standard. [22] ἄφθαρτος, imperishable, immortal. [23] ἀόρατος, invisible, unseen. [24] σοφός, wise. [25] παραγγελία, ας, ἡ, instruction, command. [26] παρατίθημι, set before, entrust. [27] Τιμόθεος, ου, ὁ, Timothy. [28] προάγω, lead forth, go before. [29] προφητεία, ας, ἡ, prophecy. [30] στρατεύομαι, make war, hence to serve as a soldier. [31] στρατεία, ας, ἡ, campaign, warfare.

ἀπωσάμενοι[1] περὶ τὴν πίστιν ἐναυάγησαν:[2] ὧν ἐστὶν Ὑμέναιος[3] καὶ 20
Ἀλέξανδρος,[4] οὓς παρέδωκα τῷ Σατανᾷ, ἵνα παιδευθῶσιν[5] μὴ
βλασφημεῖν.

Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις,[6] προσευχάς, **2**
ἐντεύξεις,[7] εὐχαριστίας,[8] ὑπὲρ πάντων ἀνθρώπων: ὑπὲρ βασιλέων 2
καὶ πάντων τῶν ἐν ὑπεροχῇ[9] ὄντων, ἵνα ἤρεμον[10] καὶ ἡσύχιον[11] βίον[12]
διάγωμεν[13] ἐν πάσῃ εὐσεβείᾳ[14] καὶ σεμνότητι.[15] Τοῦτο γὰρ καλὸν καὶ 3
ἀπόδεκτον[16] ἐνώπιον τοῦ σωτῆρος[17] ἡμῶν θεοῦ, ὃς πάντας 4
ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν[18] ἀληθείας ἐλθεῖν. Εἷς 5
γὰρ θεός, εἷς καὶ μεσίτης[19] θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος χριστὸς
Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον[20] ὑπὲρ πάντων, τὸ μαρτύριον[21] 6
καιροῖς ἰδίοις, εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ[22] καὶ ἀπόστολος: ἀλήθειαν 7
λέγω ἐν χριστῷ, οὐ ψεύδομαι:[23] διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ
ἀληθείᾳ.

Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας[24] 8
ὁσίους[25] χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμοῦ.[26] Ὡσαύτως[27] καὶ τὰς 9
γυναῖκας ἐν καταστολῇ[28] κοσμίῳ,[29] μετὰ αἰδοῦς[30] καὶ σωφροσύνης,[31]
κοσμεῖν[32] ἑαυτάς, μὴ ἐν πλέγμασιν,[33] ἢ χρυσῷ,[34] ἢ μαργαρίταις,[35] ἢ

[1] ἀπωθέω, push or thrust away, reject. [2] ναυαγέω, suffer shipwreck, am shipwrecked. [3] Ὑμέναιος, ου, ὁ, Hymenaeus. [4] Ἀλέξανδρος, ου, ὁ, Alexander. [5] παιδεύω, teach, educate. [6] δέησις, εως, ἡ, entreaty, prayer. [7] ἔντευξις, εως, ἡ, petition, request. [8] εὐχαριστία, ας, ἡ, thanksgiving, thankfulness. [9] ὑπεροχή, ῆς, ἡ, superiority, authority. [10] ἤρεμος, quiet, tranquil. [11] ἡσύχιος, quiet, tranquil. [12] βίος, ου, ὁ, life, manner of life. [13] διάγω, spend one's life, live. [14] εὐσέβεια, ας, ἡ, godliness, piety. [15] σεμνότης, ητος, ἡ, seriousness, dignity. [16] ἀπόδεκτος, acceptable, worthy to be received. [17] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [18] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [19] μεσίτης, ου, ὁ, mediator, go-between. [20] ἀντίλυτρον, ου, τό, ransom. [21] μαρτύριον, ου, τό, testimony, witness. [22] κῆρυξ, υκος, ὁ, herald, preacher. [23] ψεύδομαι, lie. [24] ἐπαίρω, lift up, raise. [25] ὅσιος, righteous, pious. [26] διαλογισμός, οῦ, ὁ, reasoning, questioning. [27] ὡσαύτως, likewise. [28] καταστολή, ῆς, ἡ, attire, clothing. [29] κόσμιος, respectable, appropriate. [30] αἰδώς, οῦς, ἡ, modesty, shame. [31] σωφροσύνη, ης, ἡ, self control, moderation. [32] κοσμέω, adorn, put into order. [33] πλέγμα, τος, τό, braided hair, anything interwoven. [34] χρυσός, οῦ, ὁ, gold, anything made of gold. [35] μαργαρίτης, ου, ὁ, pearl.

ἱματισμῷ[1] πολυτελεῖ,[2] ἀλλ’ ὃ πρέπει[3] γυναιξὶν ἐπαγγελλομέναις[4] 10
θεοσέβειαν,[5] δι’ ἔργων ἀγαθῶν. Γυνὴ ἐν ἡσυχίᾳ[6] μανθανέτω[7] ἐν πάσῃ 11
ὑποταγῇ.[8] Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω,[9] οὐδὲ αὐθεντεῖν[10] 12
ἀνδρός, ἀλλ’ εἶναι ἐν ἡσυχίᾳ.[6] Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη,[11] εἶτα[12] 13
Εὕα·[13] καὶ Ἀδὰμ οὐκ ἠπατήθη,[14] ἡ δὲ γυνὴ ἀπατηθεῖσα[14] ἐν 14
παραβάσει[15] γέγονεν· σωθήσεται δὲ διὰ τῆς τεκνογονίας,[16] ἐὰν 15
μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ[17] μετὰ σωφροσύνης.[18]

Πιστὸς ὁ λόγος· εἴ τις ἐπισκοπῆς[19] ὀρέγεται,[20] καλοῦ ἔργου ἐπιθυμεῖ.[21] **3**
Δεῖ οὖν τὸν ἐπίσκοπον[22] ἀνεπίληπτον[23] εἶναι, μιᾶς γυναικὸς ἄνδρα,
νηφάλεον,[24] σώφρονα,[25] κόσμιον,[26] φιλόξενον,[27] διδακτικόν·[28] μὴ 3
πάροινον,[29] μὴ πλήκτην,[30] μὴ αἰσχροκερδῆ,[31] ἀλλ’ ἐπιεικῆ,[32] ἄμαχον,[33]
ἀφιλάργυρον·[34] τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον,[35] τέκνα ἔχοντα 4
ἐν ὑποταγῇ[8] μετὰ πάσης σεμνότητος.[36] Εἰ δέ τις τοῦ ἰδίου οἴκου 5
προστῆναι[35] οὐκ οἶδεν, πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται;[37] Μὴ 6
νεόφυτον,[38] ἵνα μὴ τυφωθεὶς[39] εἰς κρίμα[40] ἐμπέσῃ[41] τοῦ διαβόλου. Δεῖ 7
δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν,[42] ἵνα μὴ εἰς
ὀνειδισμὸν[43] ἐμπέσῃ[41] καὶ παγίδα[44] τοῦ διαβόλου. Διακόνους 8

[1] ἱματισμός, οῦ, ὁ, clothing. [2] πολυτελής, very costly, precious. [3] πρέπω, be clearly seen, be fitting. [4] ἐπαγγέλλομαι, promise, profess. [5] θεοσέβεια, ας, ἡ, piety, godliness. [6] ἡσυχία, ας, ἡ, stillness, silence. [7] μανθάνω, learn, ascertain. [8] ὑποταγή, ῆς, ἡ, subjection, obedience. [9] ἐπιτρέπω, permit, allow. [10] αὐθεντέω, govern, exercise authority. [11] πλάσσω, form, mold. [12] εἶτα, then, thereafter. [13] Εὕα, ας, ἡ, Eve. [14] ἀπατάω, deceive, lead into error. [15] παράβασις, εως, ἡ, going aside, transgression. [16] τεκνογονία, ας, ἡ, bearing of children, child bearing. [17] ἁγιασμός, οῦ, ὁ, consecration, holiness. [18] σωφροσύνη, ης, ἡ, self control, moderation. [19] ἐπισκοπή, ῆς, ἡ, visitation, overseeing. [20] ὀρέγω, stretch forth, long for. [21] ἐπιθυμέω, desire, long for. [22] ἐπίσκοπος, ου, ὁ, superintendent, overseer. [23] ἀνεπίληπτος, above reproach, irreproachable. [24] νηφαλέος, sober, temperate. [25] σώφρων, self-controlled, sensible. [26] κόσμιος, respectable, appropriate. [27] φιλόξενος, hospitable. [28] διδακτικός, able to teach, apt to teach. [29] πάροινος, ου, ὁ, addicted to wine, drunken. [30] πλήκτης, ου, ὁ, bully, contentious person. [31] αἰσχροκερδής, greedy of base gain, avaricious. [32] ἐπιεικής, yielding, gentle. [33] ἄμαχος, uncontentious, peaceable. [34] ἀφιλάργυρος, free from the love of money. [35] προΐστημι, rule. [36] σεμνότης, ητος, ἡ, seriousness, dignity. [37] ἐπιμελέομαι, care for, take care of. [38] νεόφυτος, newly converted, newly-planted. [39] τυφόω, puff up, make haughty. [40] κρίμα, ος, τό, judgment, verdict. [41] ἐμπίπτω, fall into, fall in. [42] ἔξωθεν, from without, outside (gen). [43] ὀνειδισμός, οῦ, ὁ, reproach, reviling. [44] παγίς, ίδος, ἡ, trap, snare.

ὡσαύτως[1] σεμνούς,[2] μὴ διλόγους,[3] μὴ οἴνῳ πολλῷ προσέχοντας,[4] μὴ
αἰσχροκερδεῖς,[5] ἔχοντας τὸ μυστήριον[6] τῆς πίστεως ἐν καθαρᾷ[7] 9
συνειδήσει. Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν[8] πρῶτον, εἶτα[9] 10
διακονείτωσαν, ἀνέγκλητοι[10] ὄντες. Γυναῖκας ὡσαύτως[1] σεμνάς,[2] μὴ 11
διαβόλους, νηφαλέους,[11] πιστὰς ἐν πᾶσιν. Διάκονοι ἔστωσαν μιᾶς 12
γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι[12] καὶ τῶν ἰδίων οἴκων. 13
Οἱ γὰρ καλῶς διακονήσαντες βαθμὸν[13] ἑαυτοῖς καλὸν περιποιοῦνται,
καὶ πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν χριστῷ Ἰησοῦ.

Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρός σε τάχιον·[15] ἐὰν δὲ βραδύνω,[16] 14
ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι,[17] ἥτις ἐστὶν ἐκκλησία
θεοῦ ζῶντος, στύλος[18] καὶ ἑδραίωμα[19] τῆς ἀληθείας. Καὶ 16
ὁμολογουμένως[20] μέγα ἐστὶν τὸ τῆς εὐσεβείας[21] μυστήριον·[6] θεὸς
ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις,
ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη[22] ἐν δόξῃ.

Τὸ δὲ πνεῦμα ῥητῶς[23] λέγει, ὅτι ἐν ὑστέροις[24] καιροῖς ἀποστήσονταί[25] **4**
τινες τῆς πίστεως, προσέχοντες[4] πνεύμασιν πλάνοις[26] καὶ
διδασκαλίαις[27] δαιμονίων, ἐν ὑποκρίσει[28] ψευδολόγων,[29] 2
κεκαυτηριασμένων[30] τὴν ἰδίαν συνείδησιν, κωλυόντων[31] γαμεῖν,[32] 3

[1] ὡσαύτως, likewise. [2] σεμνός, honorable, dignified. [3] δίλογος, insincere, double-tongued. [4] προσέχω, take head of, attend to. [5] αἰσχροκερδής, greedy of base gain, avaricious. [6] μυστήριον, ου, τό, secret, mystery. [7] καθαρός, clean, pure. [8] δοκιμάζω, prove, approve. [9] εἶτα, then, thereafter. [10] ἀνέγκλητος, above reproach, blameless. [11] νηφαλέος, sober, temperate. [12] προΐστημι, rule. [13] βαθμός, οῦ, ὁ, step, grade. [14] περιποιέω, acquire, purchase. [15] τάχιον, more swiftly. [16] βραδύνω, hesitate, be slow. [17] ἀναστρέφω, return, live. [18] στῦλος, ου, ὁ, pillar. [19] ἑδραίωμα, τος, τό, support, foundation. [20] ὁμολογουμένως, undeniably, beyond question. [21] εὐσέβεια, ας, ἡ, godliness, piety. [22] ἀναλαμβάνω, take up, raise. [23] ῥητῶς, expressly, explicitly. [24] ὕστερος, later, afterwards. [25] ἀφίστημι, withdraw, depart. [26] πλάνος, deceiver, misleading. [27] διδασκαλία, ας, ἡ, teaching, doctrine. [28] ὑπόκρισις, εως, ἡ, hypocrisy. [29] ψευδολόγος, speaking falsely, lying. [30] καυτηριάζω, cauterize, sear. [31] κωλύω, forbid, hinder. [32] γαμέω, marry.

ἀπέχεσθαι[1] βρωμάτων,[2] ἃ ὁ θεὸς ἔκτισεν[3] εἰς μετάληψιν[4] μετὰ
εὐχαριστίας[5] τοῖς πιστοῖς καὶ ἐπεγνωκόσιν τὴν ἀλήθειαν. Ὅτι πᾶν 4
κτίσμα[6] θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον,[7] μετὰ εὐχαριστίας[5]
λαμβανόμενον: ἁγιάζεται[8] γὰρ διὰ λόγου θεοῦ καὶ ἐντεύξεως.[9] 5

Ταῦτα ὑποτιθέμενος[10] τοῖς ἀδελφοῖς καλὸς ἔσῃ διάκονος Ἰησοῦ χριστοῦ, 6
ἐντρεφόμενος[11] τοῖς λόγοις τῆς πίστεως, καὶ τῆς καλῆς διδασκαλίας
ᾗ παρηκολούθηκας.[13] Τοὺς δὲ βεβήλους[14] καὶ γραώδεις[15] μύθους[16] 7
παραιτοῦ.[17] Γύμναζε[18] δὲ σεαυτὸν πρὸς εὐσέβειαν:[19] ἡ γὰρ σωματικὴ[20] 8
γυμνασία[21] πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος:[22] ἡ δὲ εὐσέβεια[19] πρὸς
πάντα ὠφέλιμός[22] ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς
μελλούσης. Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς[23] ἄξιος. Εἰς τοῦτο 9
γὰρ καὶ κοπιῶμεν[24] καὶ ὀνειδιζόμεθα,[25] ὅτι ἠλπίκαμεν ἐπὶ θεῷ ζῶντι,
ὅς ἐστιν σωτὴρ[26] πάντων ἀνθρώπων, μάλιστα[27] πιστῶν. Παράγγελλε 11
ταῦτα καὶ δίδασκε. Μηδείς σου τῆς νεότητος[28] καταφρονείτω,[29] 12
ἀλλὰ τύπος[30] γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ,[31] ἐν ἀγάπῃ,
ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ.[32] Ἕως ἔρχομαι, πρόσεχε[33] τῇ 13
ἀναγνώσει,[34] τῇ παρακλήσει,[35] τῇ διδασκαλίᾳ.[12] Μὴ ἀμέλει[36] τοῦ ἐν 14

[1] ἀπέχω, received, obtain. [2] βρῶμα, τος, τό, food, food of any kind. [3] κτίζω, create, form. [4] μετάληψις, εως, ἡ, participation, sharing in. [5] εὐχαριστία, ας, ἡ, thanksgiving, thankfulness. [6] κτίσμα, ος, τό, creature, created thing. [7] ἀπόβλητος, rejected, worthy to be cast away. [8] ἁγιάζω, make holy, consecrate. [9] ἔντευξις, εως, ἡ, petition, request. [10] ὑποτίθημι, lay down, make known. [11] ἐντρέφω, nourish on, am educated in. [12] διδασκαλία, ας, ἡ, teaching, doctrine. [13] παρακολουθέω, follow closely, investigate. [14] βέβηλος, worldly, profane. [15] γραώδης, characteristic of an elderly woman. [16] μῦθος, ου, ὁ, fable, myth. [17] παραιτέομαι, make excuse, refuse. [18] γυμνάζω, train, undergo discipline. [19] εὐσέβεια, ας, ἡ, godliness, piety. [20] σωματικός, bodily, corporeal. [21] γυμνασία, ας, ἡ, training, discipline. [22] ὠφέλιμος, useful, profitable. [23] ἀποδοχή, ῆς, ἡ, acceptance, approval. [24] κοπιάω, toil, labor. [25] ὀνειδίζω, reproach, revile. [26] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [27] μάλιστα, especially, most of all. [28] νεότης, ητος, ἡ, youth, youthfulness. [29] καταφρονέω, think little of, despise. [30] τύπος, ου, ὁ, mark, example. [31] ἀναστροφή, ῆς, ἡ, conduct, behavior. [32] ἁγνεία, ας, ἡ, purity, chastity. [33] προσέχω, take head of, attend to. [34] ἀνάγνωσις, εως, ἡ, reading. [35] παράκλησις, εως, ἡ, exhortation, consolation. [36] ἀμελέω, neglect, be unconcerned.

σοὶ χαρίσματος,[1] ὃ ἐδόθη σοι διὰ προφητείας[2] μετὰ ἐπιθέσεως[3] τῶν
χειρῶν τοῦ πρεσβυτερίου.[4] Ταῦτα μελέτα,[5] ἐν τούτοις ἴσθι, ἵνα σου ἡ 15
προκοπὴ[6] φανερὰ[7] ᾖ ἐν πᾶσιν. Ἔπεχε[8] σεαυτῷ καὶ τῇ διδασκαλίᾳ.[9] 16
Ἐπίμενε[10] αὐτοῖς: τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις καὶ τοὺς
ἀκούοντάς σου.

Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς,[11] ἀλλὰ παρακάλει ὡς πατέρα: νεωτέρους,[12] 5
ὡς ἀδελφούς: πρεσβυτέρας, ὡς μητέρας: νεωτέρας,[12] ὡς ἀδελφάς,[13] 2
ἐν πάσῃ ἁγνείᾳ.[14] Χήρας[15] τίμα[16] τὰς ὄντως[17] χήρας.[15] Εἰ δέ τις χήρα[15] 3
τέκνα ἢ ἔκγονα[18] ἔχει, μανθανέτωσαν[19] πρῶτον τὸν ἴδιον οἶκον
εὐσεβεῖν,[20] καὶ ἀμοιβὰς[21] ἀποδιδόναι τοῖς προγόνοις:[22] τοῦτο γάρ
ἐστιν ἀπόδεκτον[23] ἐνώπιον τοῦ θεοῦ. Ἡ δὲ ὄντως[17] χήρα[15] καὶ 5
μεμονωμένη[24] ἤλπικεν ἐπὶ τὸν θεόν, καὶ προσμένει[25] ταῖς δεήσεσιν[26]
καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας. Ἡ δὲ σπαταλῶσα,[27] ζῶσα 6
τέθνηκεν.[28] Καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι[29] ὦσιν. Εἰ δέ τις 7
τῶν ἰδίων καὶ μάλιστα[30] τῶν οἰκείων[31] οὐ προνοεῖ,[32] τὴν πίστιν
ἤρνηται, καὶ ἔστιν ἀπίστου[33] χείρων.[34] Χήρα[15] καταλεγέσθω[35] μὴ 9
ἔλαττον[36] ἐτῶν ἑξήκοντα,[37] γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή, ἐν ἔργοις 10

[1] χάρισμα, τος, τό, gift, undeserved favor. [2] προφητεία, ας, ἡ, prophecy. [3] ἐπίθεσις, εως, ἡ, laying on, assault. [4] πρεσβυτέριον, ου, τό, body of elders, assembly of elders. [5] μελετάω, take care, take pains with. [6] προκοπή, ῆς, ἡ, progress, advancement. [7] φανερός, manifest, apparent. [8] ἐπέχω, hold fast, hold toward. [9] διδασκαλία, ας, ἡ, teaching, doctrine. [10] ἐπιμένω, continue, remain. [11] ἐπιπλήσσω, rebuke, reprove. [12] νέος, new, young. [13] ἀδελφή, ῆς, ἡ, sister. [14] ἁγνεία, ας, ἡ, purity, chastity. [15] χήρα, ας, ἡ, widow. [16] τιμάω, honor, value at a price. [17] ὄντως, really, indeed. [18] ἔκγονος, descendants, grandchildren. [19] μανθάνω, learn, ascertain. [20] εὐσεβέω, show piety or profound respect towards. [21] ἀμοιβή, ῆς, ἡ, return, recompense. [22] πρόγονος, ου, ὁ, parents, forefathers. [23] ἀπόδεκτος, acceptable, worthy to be received. [24] μονόω, leave alone. [25] προσμένω, wait longer, remain. [26] δέησις, εως, ἡ, entreaty, prayer. [27] σπαταλάω, live extravagantly. [28] θνῄσκω, die, am dying. [29] ἀνεπίληπτος, above reproach, irreproachable. [30] μάλιστα, especially, most of all. [31] οἰκεῖος, ου, ὁ, household, members of the household. [32] προνοέω, provide for, have regard for. [33] ἄπιστος, unbelieving, faithless. [34] χείρων, worse. [35] καταλέγω, enroll, place on a list. [36] ἐλάσσων, lesser, less. [37] ἑξήκοντα, sixty, 60.

καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν,[1] εἰ ἐξενοδόχησεν,[2] εἰ
ἁγίων πόδας ἔνιψεν,[3] εἰ θλιβομένοις[4] ἐπήρκεσεν,[5] εἰ παντὶ ἔργῳ
ἀγαθῷ ἐπηκολούθησεν.[6] Νεωτέρας[7] δὲ χήρας[8] παραιτοῦ:[9] ὅταν γὰρ 11
καταστρηνιάσωσιν[10] τοῦ χριστοῦ, γαμεῖν[11] θέλουσιν, ἔχουσαι κρίμα,[12] 12
ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν.[13] Ἅμα[14] δὲ καὶ ἀργαὶ[15] 13
μανθάνουσιν,[16] περιερχόμεναι[17] τὰς οἰκίας, οὐ μόνον δὲ ἀργαί,[15] ἀλλὰ
καὶ φλύαροι[18] καὶ περίεργοι,[19] λαλοῦσαι τὰ μὴ δέοντα. Βούλομαι οὖν 14
νεωτέρας[7] γαμεῖν,[11] τεκνογονεῖν,[20] οἰκοδεσποτεῖν,[21] μηδεμίαν
ἀφορμὴν[22] διδόναι τῷ ἀντικειμένῳ[23] λοιδορίας[24] χάριν.[25] Ἤδη γάρ 15
τινες ἐξετράπησαν[26] ὀπίσω τοῦ Σατανᾶ. Εἴ τις πιστὸς ἢ πιστὴ ἔχει 16
χήρας,[8] ἐπαρκείτω[5] αὐταῖς, καὶ μὴ βαρείσθω[27] ἡ ἐκκλησία, ἵνα ταῖς
ὄντως[28] χήραις[8] ἐπαρκέσῃ.[5]

Οἱ καλῶς προεστῶτες[29] πρεσβύτεροι διπλῆς[30] τιμῆς ἀξιούσθωσαν,[31] 17
μάλιστα[32] οἱ κοπιῶντες[33] ἐν λόγῳ καὶ διδασκαλίᾳ.[34] Λέγει γὰρ ἡ 18
γραφή, Βοῦν[35] ἀλοῶντα[36] οὐ φιμώσεις:[37] καί, Ἄξιος ὁ ἐργάτης[38] τοῦ
μισθοῦ[39] αὐτοῦ. Κατὰ πρεσβυτέρου κατηγορίαν[40] μὴ παραδέχου,[41] 19
ἐκτὸς[42] εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων. Τοὺς ἁμαρτάνοντας 20

[1] τεκνοτροφέω, bring up children. [2] ξενοδοχέω, show hospitality, entertain starngers. [3] νίπτω, wash. [4] θλίβω, press, oppress. [5] ἐπαρκέω, help, aid. [6] ἐπακολουθέω, follow after, follow close after. [7] νέος, new, young. [8] χήρα, ας, ἡ, widow. [9] παραιτέομαι, make excuse, refuse. [10] καταστρηνιάω, be governed by strong physical desire. [11] γαμέω, marry. [12] κρίμα, ος, τό, judgment, verdict. [13] ἀθετέω, reject, annul. [14] ἅμα, at the same time. [15] ἀργός, inactive, idle. [16] μανθάνω, learn, ascertain. [17] περιέρχομαι, go about, go around. [18] φλύαρος, gossipy, talking foolishly. [19] περίεργος, ου, ὁ, meddlesome, belonging to magic. [20] τεκνογονέω, bear or beget children, bear children. [21] οἰκοδεσποτέω, rule a household, keep house. [22] ἀφορμή, ῆς, ἡ, occasion, opportunity. [23] ἀντίκειμαι, lie opposite, i.e. oppose. [24] λοιδορία, ας, ἡ, abuse, reproach. [25] χάριν, in favor of, for the pleasure of. [26] ἐκτρέπω, turn aside, wander. [27] βαρέω, burden, weigh down. [28] ὄντως, really, indeed. [29] προΐστημι, rule. [30] διπλοῦς, double, two-fold. [31] ἀξιόω, consider worthy. [32] μάλιστα, especially, most of all. [33] κοπιάω, toil, labor. [34] διδασκαλία, ας, ἡ, teaching, doctrine. [35] βοῦς, ὁ, ox, cow. [36] ἀλοάω, thresh. [37] φιμόω, muzzle, silence. [38] ἐργάτης, ου, ὁ, workman, laborer. [39] μισθός, οῦ, ὁ, wages, reward. [40] κατηγορία, ας, ἡ, accusation, charge. [41] παραδέχομαι, receive, accept. [42] ἐκτός, aside from, besides.

ἐνώπιον πάντων ἔλεγχε,[1] ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν. 21
Διαμαρτύρομαι[2] ἐνώπιον τοῦ θεοῦ καὶ κυρίου Ἰησοῦ χριστοῦ καὶ
τῶν ἐκλεκτῶν[3] ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος,[4]
μηδὲν ποιῶν κατὰ πρόσκλησιν.[5] Χεῖρας ταχέως[6] μηδενὶ ἐπιτίθει, 22
μηδὲ κοινώνει[7] ἁμαρτίαις ἀλλοτρίαις:[8] σεαυτὸν ἁγνὸν[9] τήρει. Μηκέτι 23
ὑδροπότει,[11] ἀλλʼ οἴνῳ ὀλίγῳ χρῶ,[12] διὰ τὸν στόμαχόν[13] σου καὶ τὰς
πυκνάς[14] σου ἀσθενείας.[15] Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί[16] 24
εἰσιν, προάγουσαι[17] εἰς κρίσιν: τισὶν δὲ καὶ ἐπακολουθοῦσιν.[18] 25
Ὡσαύτως[19] καὶ τὰ καλὰ ἔργα πρόδηλά[16] ἐστιν: καὶ τὰ ἄλλως[20] ἔχοντα
κρυβῆναι[21] οὐ δύνανται.

Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν[22] δοῦλοι, τοὺς ἰδίους δεσπότας[23] πάσης τιμῆς **6**
ἀξίους ἡγείσθωσαν,[24] ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ καὶ ἡ διδασκαλία[25]
βλασφημῆται. Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας[23] μὴ 2
καταφρονείτωσαν,[26] ὅτι ἀδελφοί εἰσιν: ἀλλὰ μᾶλλον δουλευέτωσαν,[27]
ὅτι πιστοί εἰσιν καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας[28] ἀντιλαμβανόμενοι.
Ταῦτα δίδασκε καὶ παρακάλει.

[1] ἐλέγχω, convict, reprove. [2] διαμαρτύρομαι, testify solemnly. [3] ἐκλεκτός, chosen, elect. [4] πρόκριμα, τος, τό, prejudice, bias. [5] πρόσκλησις, εως, ἡ, partiality. [6] ταχέως, quickly, soon. [7] κοινωνέω, have a share of, share. [8] ἀλλότριος, strange, foreign. [9] ἁγνός, pure, holy. [10] μηκέτι, no longer. [11] ὑδροποτέω, drink water, am a water drinker. [12] χράομαι, use, make use of. [13] στόμαχος, ου, ὁ, stomach. [14] πυκνός, frequent, numerous. [15] ἀσθένεια, ας, ἡ, weakness, sickness. [16] πρόδηλος, clear, evident. [17] προάγω, lead forth, go before. [18] ἐπακολουθέω, follow after, follow close after. [19] ὡσαύτως, likewise. [20] ἄλλως, otherwise. [21] κρύπτω, conceal, hide. [22] ζυγός, οῦ, ὁ, yoke, heavy burden. [23] δεσπότης, ου, ὁ, master, lord. [24] ἡγέομαι, lead, be chief. [25] διδασκαλία, ας, ἡ, teaching, doctrine. [26] καταφρονέω, think little of, despise. [27] δουλεύω, serve, am a slave. [28] εὐεργεσία, ας, ἡ, good deed, good action. [29] ἀντιλαμβάνομαι, help, take part in.

Εἴ τις ἑτεροδιδασκαλεῖ,[1] καὶ μὴ προσέρχεται ὑγιαίνουσιν[2] λόγοις, τοῖς 3
τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, καὶ τῇ κατ᾽ εὐσέβειαν[3] διδασκαλίᾳ,[4]
τετύφωται,[5] μηδὲν ἐπιστάμενος,[6] ἀλλὰ νοσῶν[7] περὶ ζητήσεις[8] καὶ 4
λογομαχίας,[9] ἐξ ὧν γίνεται φθόνος,[10] ἔρις,[11] βλασφημίαι,[12] ὑπόνοιαι[13]
πονηραί, διαπαρατριβαὶ διεφθαρμένων[14] ἀνθρώπων τὸν νοῦν,[15] καὶ 5
ἀπεστερημένων[16] τῆς ἀληθείας, νομιζόντων[17] πορισμὸν[18] εἶναι τὴν
εὐσέβειαν.[3] Ἀφίστασο[19] ἀπὸ τῶν τοιούτων. Ἔστιν δὲ πορισμὸς[18] 6
μέγας ἡ εὐσέβεια[3] μετὰ αὐταρκείας:[20] οὐδὲν γὰρ εἰσηνέγκαμεν[21] εἰς 7
τὸν κόσμον, δῆλον[22] ὅτι οὐδὲ ἐξενεγκεῖν[23] τι δυνάμεθα: ἔχοντες δὲ 8
διατροφὰς[24] καὶ σκεπάσματα[25] τούτοις ἀρκεσθησόμεθα.[26] Οἱ δὲ 9
βουλόμενοι πλουτεῖν[27] ἐμπίπτουσιν[28] εἰς πειρασμὸν[29] καὶ παγίδα[30]
καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους[31] καὶ βλαβεράς,[32] αἵτινες βυθίζουσιν
τοὺς ἀνθρώπους εἰς ὄλεθρον[34] καὶ ἀπώλειαν.[35] Ῥίζα[36] γὰρ πάντων τῶν 10
κακῶν ἐστὶν ἡ φιλαργυρία:[37] ἧς τινὲς ὀρεγόμενοι[38] ἀπεπλανήθησαν[39]
ἀπὸ τῆς πίστεως, καὶ ἑαυτοὺς περιέπειραν[40] ὀδύναις[41] πολλαῖς.

[1] ἑτεροδιδασκαλέω, teach a different or divisive doctrine. [2] ὑγιαίνω, be in good health, am well. [3] εὐσέβεια, ας, ἡ, godliness, piety. [4] διδασκαλία, ας, ἡ, teaching, doctrine. [5] τυφόω, puff up, make haughty. [6] ἐπίσταμαι, understand, know. [7] νοσέω, be sick, have an unhealthy desire. [8] ζήτησις, εως, ἡ, debate, controversy. [9] λογομαχία, ας, ἡ, dispute about words. [10] φθόνος, ου, ὁ, envy, grudge. [11] ἔρις, ιδος, ἡ, strife, contention. [12] βλασφημία, ας, ἡ, blasphemy, reproach. [13] ὑπόνοια, ας, ἡ, suspicion, conjecture. [14] διαφθείρω, destroy utterly, spoil. [15] νοῦς, ὁ, mind, reasoning faculty. [16] ἀποστερέω, defraud, deprive of. [17] νομίζω, suppose, think. [18] πορισμός, οῦ, ὁ, means of gain, source of gain. [19] ἀφίστημι, withdraw, depart. [20] αὐτάρκεια, ας, ἡ, sufficiency, contentment. [21] εἰσφέρω, carry inward, bring in. [22] δῆλος, clear, evident. [23] ἐκφέρω, carry out, bring forth. [24] διατροφή, ῆς, ἡ, food, nourishment. [25] σκέπασμα, τος, τό, covering, clothing. [26] ἀρκέω, assist, suffice. [27] πλουτέω, be rich, become rich. [28] ἐμπίπτω, fall into, fall in. [29] πειρασμός, οῦ, ὁ, temptation, trial. [30] παγίς, ίδος, ἡ, trap, snare. [31] ἀνόητος, foolish, thoughtless. [32] βλαβερός, harmful, injurious. [33] βυθίζω, sink, plunge. [34] ὄλεθρος, ου, ὁ, destruction, death. [35] ἀπώλεια, ας, ἡ, destruction, ruin. [36] ῥίζα, ης, ἡ, root, that which grows from the root. [37] φιλαργυρία, ας, ἡ, love of money, avarice. [38] ὀρέγω, stretch forth, long for. [39] ἀποπλανάω, mislead, cause to wander astray. [40] περιπείρω, pierce through, impale. [41] ὀδύνη, ης, ἡ, pain, grief.

Σὺ δέ, ὦ[1] ἄνθρωπε τοῦ θεοῦ, ταῦτα φεῦγε·[2] δίωκε δὲ δικαιοσύνην, 11
εὐσέβειαν,[3] πίστιν, ἀγάπην, ὑπομονήν, πρᾳότητα.[4] Ἀγωνίζου[5] τὸν 12
καλὸν ἀγῶνα[6] τῆς πίστεως, ἐπιλαβοῦ[7] τῆς αἰωνίου ζωῆς, εἰς ἣν
ἐκλήθης, καὶ ὡμολόγησας[8] τὴν καλὴν ὁμολογίαν[9] ἐνώπιον πολλῶν
μαρτύρων. Παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ τοῦ ζῳοποιοῦντος[10] 13
τὰ πάντα, καὶ χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου[11]
Πιλάτου τὴν καλὴν ὁμολογίαν,[9] τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον,[12] 14
ἀνεπίληπτον,[13] μέχρι[14] τῆς ἐπιφανείας[15] τοῦ κυρίου ἡμῶν Ἰησοῦ
χριστοῦ, ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης,[16] ὁ 15
βασιλεὺς τῶν βασιλευόντων,[17] καὶ κύριος τῶν κυριευόντων,[18] ὁ 16
μόνος ἔχων ἀθανασίαν,[19] φῶς οἰκῶν[20] ἀπρόσιτον,[21] ὃν εἶδεν οὐδεὶς
ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος[22] αἰώνιον. Ἀμήν.

Τοῖς πλουσίοις[23] ἐν τῷ νῦν αἰῶνι παράγγελλε, μὴ ὑψηλοφρονεῖν,[24] μηδὲ 17
ἠλπικέναι ἐπὶ πλούτου[25] ἀδηλότητι,[26] ἀλλ᾽ ἐν τῷ θεῷ τῷ ζῶντι, τῷ
παρέχοντι[27] ἡμῖν πάντα πλουσίως[28] εἰς ἀπόλαυσιν·[29] ἀγαθοεργεῖν,[30] 18
πλουτεῖν[31] ἐν ἔργοις καλοῖς, εὐμεταδότους[32] εἶναι, κοινωνικούς,[33] 19
ἀποθησαυρίζοντας[34] ἑαυτοῖς θεμέλιον[35] καλὸν εἰς τὸ μέλλον, ἵνα
ἐπιλάβωνται[7] τῆς αἰωνίου ζωῆς.

[1] ὦ, Oh! omega. [2] φεύγω, flee, escape. [3] εὐσέβεια, ας, ἡ, godliness, piety. [4] πρᾳΰτης, mildness, gentleness. [5] ἀγωνίζομαι, contend, struggle. [6] ἀγών, ῶνος, ὁ, struggle, fight. [7] ἐπιλαμβάνομαι, take hold of, seize. [8] ὁμολογέω, confess, profess. [9] ὁμολογία, ας, ἡ, confession, profession. [10] ζῳοποιέω, make alive, make to live. [11] Πόντιος, ου, ὁ, Pontius. [12] ἄσπιλος, spotless, unstained. [13] ἀνεπίληπτος, above reproach, irreproachable. [14] μέχρι, until, as far as (gen). [15] ἐπιφάνεια, ας, ἡ, appearance, appearing. [16] δυνάστης, ου, ὁ, ruler, sovereign. [17] βασιλεύω, reign, rule. [18] κυριεύω, be lord over, rule. [19] ἀθανασία, ας, ἡ, immortality. [20] οἰκέω, inhabit, dwell. [21] ἀπρόσιτος, unapproachable. [22] κράτος, ους, τό, power, dominion. [23] πλούσιος, rich. [24] ὑψηλοφρονέω, be proud, haughty. [25] πλοῦτος, ου, ὁ, wealth, riches. [26] ἀδηλότης, ητος, ἡ, uncertainty. [27] παρέχω, offer, afford. [28] πλουσίως, richly, abundantly. [29] ἀπόλαυσις, εως, ἡ, enjoyment. [30] ἀγαθοεργέω, do good, perform good deeds. [31] πλουτέω, be rich, become rich. [32] εὐμετάδοτος, generous, willingly sharing. [33] κοινωνικός, liberal, generous. [34] ἀποθησαυρίζω, store up, lay up. [35] θεμέλιος, ου, ὁ, foundation.

Ὦ[1] Τιμόθεε,[2] τὴν παραθήκην[3] φύλαξον, ἐκτρεπόμενος[4] τὰς βεβήλους[5] 20
κενοφωνίας[6] καὶ ἀντιθέσεις[7] τῆς ψευδωνύμου[8] γνώσεως:[9] ἥν τινες 21
ἐπαγγελλόμενοι[10] περὶ τὴν πίστιν ἠστόχησαν.[11]

Ἡ χάρις μετὰ σοῦ. Ἀμήν.

[1] ὦ, Oh! omega. [2] Τιμόθεος, ου, ὁ, Timothy. [3] παραθήκη, ης, ἡ, deposit or trust. [4] ἐκτρέπω, turn aside, wander. [5] βέβηλος, worldly, profane. [6] κενοφωνία, ας, ἡ, chatter, empty talk. [7] ἀντίθεσις, εως, ἡ, contradiction, opposition. [8] ψευδώνυμος, falsely called, so-called. [9] γνῶσις, εως, ἡ, wisdom, knowledge. [10] ἐπαγγέλλομαι, promise, profess. [11] ἀστοχέω, miss the mark, go astray.